II e III Liceo

Poesia

2. Aristofane, *Nuvole*, 1452-1475
*Strepsiade si pente con il coro delle Nuvole e suo figlio Fidippide*

(Στ.) ταυτὶ δι' ὑμᾶς, ὦ Νεφέλαι, πέπονθ' ἐγώ,
ὑμῖν ἀναθεὶς ἅπαντα τἀμὰ πράγματα.
(Χο.) αὐτὸς μὲν οὖν σαυτῷ σὺ τούτων αἴτιος,
στρέψας σεαυτὸν εἰς πονηρὰ πράγματα.
(Στ.) τί δῆτα ταῦτ' οὔ μοι τότ' ἠγορεύετε,
ἀλλ' ἄνδρ' ἄγροικον καὶ γέροντ' ἐπήρατε;
(Χο.) ἡμεῖς ποοῦμεν ταῦθ' ἑκάστοθ', ὅντιν' ἂν
γνῶμεν πονηρῶν ὄντ' ἐραστὴν πραγμάτων,
ἕως ἂν αὐτὸν ἐμβάλωμεν εἰς κακόν,
ὅπως ἂν εἰδῇ τοὺς θεοὺς δεδοικέναι.
(Στ.) ὤμοι, πονηρά γ', ὦ Νεφέλαι, δίκαια δέ·
οὐ γάρ με χρῆν τὰ χρήμαθ' ἁδανεισάμην
ἀποστερεῖν. νῦν οὖν ὅπως, ὦ φίλτατε,
τὸν Χαιρεφῶντα τὸν μιαρὸν καὶ Σωκράτη
ἀπολεῖς μετ' ἐμοῦ 'λθών, οἳ σὲ κἄμ' ἐξηπάτων.
(Φε.) ἀλλ' οὐκ ἂν ἀδικήσαιμι τοὺς διδασκάλους.
(Στ.) ναὶ ναί, καταιδέσθητι πατρῷον Δία.
(Φε.) ἰδού γε Δία πατρῷον. ὡς ἀρχαῖος εἶ.
Ζεὺς γάρ τις ἐστίν;
(Στ.) ἐστίν.
(Φε.) οὐκ ἔστ', οὔκ, ἐπεὶ
Δῖνος βασιλεύει, τὸν Δί' ἐξεληλακώς.
(Στ.) οὐκ ἐξελήλακ', ἀλλ' ἐγὼ τοῦτ' ᾤόμην
διὰ τουτονὶ τὸν δῖνον. ὤμοι δείλαιος,
ὅτε καὶ σὲ χυτρεοῦν ὄντα θεὸν ἡγησάμην.
(Φε.) ἐνταῦθα σαυτῷ παραφρόνει καὶ φληνάφα.